


## ΣΕΠΤΕΜΒΡΙΟΥ Ζ´

## Μνήμη τοῦ ἁγίου μάρτυρος

## ΣΩΖΟΝΤΟΣ τοῦ Νέου

## ἐν Πλακουντουδίῳ καὶ τῶν σὺν αὐτῷ

ΕΝ ΤΩι ΜΙΚΡΩι ΕΣΠΕΡΙΝΩι

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους δ´, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια

Ἦχος α´ Τῶν οὐρανίων ταγμάτων.

Βοσκὸν ἀλόγων προβάτων, τὸν ἐνθεώτατον, τὸν ὡς ὁ προφητάναξ, ὁ Δαυῒδ καθ' ἑκάστην, δοξάζοντα τὸν Κτίστην καὶ Ποιητήν, πάσης κτίσεως μέλψωμεν, Σῴζοντα θεῖον μαρτύρων πανευσθενῶν, καλλονήν τε καὶ ἀγλάϊσμα.

Ἀσπρογιᾶς τῆς ἐν Πάφῳ, τὸ μέγα καύχημα, καὶ ἀθλητῶν εὐψύχων, πολυτίμητον κλέος, σὺν Παίδων ἀνωνύμων πλήθει σεπτῷ, ἀθλοφόρων τιμήσωμεν, θεοφορούμενον Σῴζοντα ὡς φανόν, παμφαῆ Χριστοῦ τῆς πίστεως.

Ἡ τοῦ Χριστοῦ Ἐκκλησία, τέρπου καὶ χόρευε, καὶ ἐπαρχία Πάφου, σκίρτα νῦν καὶ ἀγάλλου, τὴν μνήμην ἐκτελοῦσα τὴν ἱεράν, τοῦ ἀλκίφρονος Σῴζοντος, τοῦ δι' ἀγάπην Κυρίου σὺν τῷ χορῷ, θείων Παίδων ἐναθλήσαντος.

Ἐπιδρομέων βαρβάρων, πυρὸς γευσάμενον, τὴν φλόγα ὥσπερ μέλι, καὶ γλυκύτατον ἄρτον, τιμήσωμεν ἐν ὕμνοις χρεωστικῶς, οἱ φιλέορτοι Σῴζοντα, ὡς καλλινίκων μαρτύρων ὑπογραμμόν, καὶ βοσκῶν Κυπρίων σέμνωμα.

Δόξα... Ἦχος β´

Τὸν τῆς Ἀσπρογιᾶς ἐνθεώτατον γόνον, τῶν εὐσεβῶν νεαρῶν ποιμένων τὸ ἀκροθίνιον, καὶ ἐν ταῖς νάπαις πέριξ τῆς Ἁγίας Μονῆς, βόσκοντα τοὺς αὐτοῦ ἄρνας, κατὰ μίμησιν τοῦ καλοῦ ἀρχιποίμενος Χριστοῦ, Σῴζοντα, τὸν καρτερόψυχον μάρτυρα, ἐγκωμίων ἄνθεσι στέψωμεν· οὗτος γὰρ ὑπομείνας Σαρακηνῶν δεινὴν ἐκδίωξιν, πυρὶ παρεδόθη σὺν ἄλλοις Παιδομάρτυσι· καὶ νῦν ἐν σκηναῖς οὐρανίαις ἀγαλλιώμενος, Χριστόν, τὸν σεπτὸν ἀγωνοθέτην, ἐκδυσωπεῖ ἀπαύστως, ὑπὲρ τῶν τιμώντων αὐτοῦ τὴν πανσέβαστον ἄθλησιν.

Καὶ νῦν... Θεοτοκίον

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Εἰς τὸν Στίχον

Στιχηρὰ Προσόμοια

Ἦχος β΄ Οἶκος τοῦ Ἐφραθᾶ.

Δεῦτε τῶν εὐσεβῶν, Ἀσπρογιᾶς τῆς Πάφου, τὰ πλήθη συνελθόντα, ἐν ὕμνοις ἐγκωμίων, νῦν Σῴζοντα τιμήσωμεν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Γάνυται καὶ σκιρτᾷ, ἡ νῆσος τῶν Κυπρίων, τελοῦσα τὴν σὴν μνήμην, μαρτύρων κλέος Σῷζον, τὴν θείαν καὶ πανέορτον.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Φεύγων σῷ ἀνδρικῷ, φρονήματι τῶν παίδων, ἀθύρματα μαρτύρων, χοροῖς συνηριθμήθης, Κυρίου Σῷζον ἔνδοξε.

Δόξα... Τριαδικὸν

Κράτος σου ἐν αὐλῷ, ποιμενικῷ ἀνύμνει, Τριὰς ὑπεραγία, ὁ Σῴζων ἀσιγήτως, ὁ ἀθλητὴς σὸν ἅγιον.

Καὶ νῦν... Θεοτοκίον

Χαῖρε Μῆτερ Θεοῦ, ὑπερευλογημένη, ἡ πᾶσι βοηθοῦσα, πιστοῖς σεπταῖς πρεσβείαις, τοῦ ἀθλοφόρου Σῴζοντος.

Ἀπολυτίκιον

Ἦχος πλ. α΄ Τὸν συνάναρχον Λόγον.

Παιδομάρτυρος δεῦτε εὐψύχου Σῴζοντος, Πλακουντουδίου ποιμένος, κατακαέντος δεινῶς, ἐν σπηλαίῳ εὐφημήσωμεν τὴν ἄθλησιν, κράζοντες· σθένει ἀνδρικῷ, δι᾽ ἀγάπην ὁ φλεχθείς, Κυρίου δρυμοῖς ἐν Πάφου, χερσὶ βαρβάρων δυσώπει, ὑπὲρ ἡμῶν τὸν Πολυεύσπλαγχνον.

Καὶ Ἀπόλυσις

ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια

Ἦχος δ΄ Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἐπαξίως τιμῶμέν σε, ὡς στερρὸν παιδομάρτυρα, τὸν ζωῆς ἀφθίτου λαβόντα στέφανον, ἐκ τῶν χειρῶν τοῦ Παντάνακτος, καὶ πίστει βοῶμέν σοι· Σῷζον μάρτυς εὐσταλές, ὁ τὰ ἴδια πρόβατα, βόσκων ἄσμενος, καὶ ὑμνῶν καθ᾽ ἑκάστην τὸν Σωτῆρα, ἠξιώθης ἐν τῇ πόλει, τῇ ἄνω δόξης ἀτέρμονος.

Τῶν βαρβάρων τὴν ἔφοδον, λογιζόμενος ἔνδοξε, εὐκαιρίαν κλήσεως τοῦ Παντάνακτος, ὁμολογίας ἐνήθλησας, στερρῷ τῷ φρονήματι, καὶ ὑπέμεινας τὸ πῦρ, ὥσπερ δρόσον οὐράνιον, Σῷζον ἔντιμε, ὁ λιπὼν τὴν ἀγέλην σῶν προβάτων, ἵνα τύχῃς τῆς ἀλήκτου, ἐν πόλῳ μακαριότητος.

Τῆς ἁγνότητος σκήνωμα, προσευχῆς ἐνδιαίτημα, καὶ τῆς ἐναρέτου ζωῆς ἐκτύπωμα, ποιμὴν ἐγένου νεώτατος, προβάτων ἐν ὄρεσι, καὶ δρυμοῖς πατρίδος σῆς, ἔνθα ἔβοσκες ποίμνιον, σοῦ τὸ ἄλογον, καὶ ἀνύμνεις τὸν Κύριον τῆς δόξης, ὁλοθύμῳ σου καρδίᾳ, Σῷζον τρισμάκαρ καὶ χείλεσι.

Ὅτε Πάφον κατέλαβον, οἱ διώκοντες Ἄραβες, καὶ Μονὴν Ἁγίαν Σῷζον ἐδῄωσαν, ἐν ᾗ εἰκόνα κατέκαυσαν, τῆς θείας προστάτιδος, καὶ μητρὸς τῶν εὐσεβῶν, τῆς ἁγνῆς Θεομήτορος, τάχος ἔδραμες, ἵνα φύγῃς αὐτῶν μανίας μάρτυς, σὺν χορῷ τῶν σῶν συνάθλων, εἰς μαρτυρίου σου σπήλαιον.

Σὲ εὑρόντες οἱ ἄνομοι, εἰς τὸ ἄντρον προστρέξαντα, ὀλεθρίῳ Σῷζον πυρὶ παρέδωσαν, σὲ παιδομάρτυς ἀήττητε, τὸν νῦν παριστάμενον, θρόνῳ τοῦ ἐν τῇ χειρί, πᾶσαν κτίσιν κατέχοντος, Παντοκράτορος, καὶ χαρᾶς ἀπολαύοντα τῶν θείων, καὶ φωτοειδῶν ἀγγέλων, σὺν ἀνωνύμοις συνάθλοις σου.

Τὴν ὑπέρφωτον μνήμην σου, ἐγκωμίοις γεραίροντες, μεγαλύνομέν σε ὡς στῦλον πάμφωτον, ἀνδρείας καὶ γενναιότητος, καὶ πόθῳ κραυγάζομεν· σὺν τῷ δήμῳ τῷ σεπτῷ, Παίδων συναθλησάντων σοι, Σῷζον πρέσβευε, τῷ Χριστῷ καταπέμψαι οὐρανόθεν, οἰκτιρμῶν αὐτοῦ ψεκάδας, τοῖς σὲ ἀεὶ μακαρίζουσι.

Δόξα... Ἦχος πλ. β΄

Ὡς ἄστρον ἀνατέταλκας παμφαέστατον, ἐν τῇ σῇ ἀσήμῳ πατρίδι, ἣν εὔσημον ἀνέδειξας ἀκτῖσι

τοῦ μαρτυρίου σου Σῷζον μακάριε· ἀρεταῖς γὰρ καὶ ἀνδρείᾳ, καὶ ψυχῆς γενναιότητι κοσμούμενος, ὑπὲρ εὐσεβείας θανεῖν προείλου, καὶ κατεπάτησας ἐνστάσει σου Σαρακηνῶν τὸ ἐπηρμένον φρύαγμα· μαρτυρίου ὅθεν ἀνύσας τρίβους, σὺν Παιδομαρτύρων χορείᾳ πατρίδος σου, οὐρανῶν εἰς ἐπάλξεις κατήντησας, ἔνθα Χριστῷ πρεσβεύεις ὑπὲρ τῶν τιμώντων, τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν... Θεοτοκίον

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα

## Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα

(Κεφ. μγ΄ 9-14)

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

(Κεφ. γ΄ 1– 9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία, σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

(Κεφ. ε΄ 15-ς΄ 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν.

Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτὴν

Στιχηρὰ Ἰδιόμελα

Ἦχος α΄

Εὐφραίνου ἐν Κυρίῳ ἡ Ἐκκλησία τῆς Κύπρου, καὶ τέρπου καὶ ἀγάλλου Ἀσπρογιὰ ἡ ἐν Πάφῳ, τὴν μνήμην τελοῦσα τοῦ καλλιμάρτυρος τέκνου σου, Σῴζοντος, τοῦ ἀνδρικῷ φρονήματι ἀγωνισαμένου· οὗτος γὰρ καταδιωχθεὶς ὑπὸ Σαρακηνῶν ἐπιδρο-

μέων, ὡς καλάμη ἐν πυρὶ ἐφλέχθη, καὶ σὺν τοῖς αὐτοῦ Συνάθλοις πρὸς πόλον ἀνῆλθεν, ἔνθα Χριστὸν ἱκετεύει ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄

Τὸ πῦρ τῆς τοῦ Χριστοῦ ἀγάπης, ἐν τῇ καρδίᾳ δεξάμενος, τοῦ βρέμοντος πυρὸς τὴν φλόγα, ὡς δρόσον ἐλογίζου, ἄλκιμε μάρτυς Σῷζον μακάριε˙ διὸ καὶ διὰ πυρὸς διελθὼν εἰς ἀναψυχὴν ἐξῆλθες ἄληκτον, Χριστῷ πρεσβεύων αὐτῆς καὶ ἡμᾶς ἀξιῶσαι, τοὺς φλεγομένους ἐν τῷ πυρὶ τῶν παραπτωμάτων καὶ τῶν θλίψεων.

Ἦχος γ΄

Πολιᾷ τῇ φρονήσει ἐν νεαρᾷ ἡλικίᾳ, οὐκ ἐφείσω τοῦ οἰκείου σου σώματος, ἀλλ᾽ ἀπτοήτῳ φωνῇ Χριστοῦ τὴν κλῆσιν περιτράνως ἐκήρυξας, Σῷζον μάρτυς καρτερόψυχε˙ ὅθεν χάριν εἴληφας δαψιλῶς θεόθεν πρεσβεύειν, ὑπὲρ τῶν τιμώντων ἐν ὕμνοις, τὴν σὴν ἀήττητον καὶ πανένδοξον ἄθλησιν.

Ἦχος δ΄

Τὸν βοσκὸν τῶν ἀλόγων προβάτων, τὸν καταισχύναντα Σαρακηνῶν τὸ στῖφος, κατακαυσάντων τὴν Εἰκόνα τῆς ἁγνῆς Θεομήτορος, καὶ ὑπομείναντα πυρὸς τὴν φλόγα ἐν σπηλαίῳ, Σῴζοντα τὸν πανάριστον, ἐγκωμίων καταστέψωμεν ἄνθεσιν, ἐν ἀγαλλιάσει βοῶντες˙ ὁ Χριστοῦ τὸ ὄνομα δοξάσας σῇ ἀκραιφνεῖ πολιτείᾳ, καὶ μαρτυρίου σου καμάτοις, παρ᾽ αὐτοῦ ἀντεδοξάσθης θαυμάτων χάρισι, τοῦ παρέχοντος ἡμῖν οἰκτιρμῶν τὸ πλῆθος καὶ τὸ μέγα ἔλεος.

Δόξα... Ἦχος δ΄

Τὴν πανέορτον μνήμην σου τελοῦντες Σῷζον πάνσεπτε, καὶ τὸ σπήλαιον τοῦ σοῦ μαρτυρίου προσιόντες, τὴν θείαν σου χάριν ἐκδεχόμεθα, τὴν ἰωμένην τὰ ἄλγη τῶν δερματικῶν νόσων, καὶ κατωδύνων ἐξανθημάτων, καὶ Χριστὸν δοξάζομεν τὸν θαύμασιν ἀντιδοξάζοντά σε.

Καὶ νῦν... Θεοτοκίον

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε· ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον

Στιχηρὰ Προσόμοια

Ἦχος πλ. α΄ Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις μαρτύρων Σῷζον πυρσέ, Πλακουντουδίου τιμιώτατον καύχημα, καὶ Κύπρου τῆς Ἐκκλησίας, κοσμῆτορ περιφανές, ὁ κατακοσμήσας, τῇ ἐνστάσει σου, καὶ τῷ μαρτυρίῳ σου, εὐσεβῶν τὰ συστήματα, τῶν ἐκτελούντων, τὴν πανσέβαστον μνήμην σου, νεαρώτατε, ἀθλοφόρε ἀήττητε˙ στέφανον ὁ δεξάμενος, ἀφθίτου τερπνότητος, ἐν οὐρανίῳ μελάθρῳ, μὴ διαλείπῃς ἀείποτε, Χριστὸν ἱκετεύων, πέμψαι πᾶσιν ὑμνηταῖς σου, τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Χαίροις ὁ τῶν προβάτων ποιμήν, ἐν ἐρημίαις σῆς πατρίδος πλανώμενος, πρὸς εὕρεσιν καταλλήλου, νομῆς καὶ γάλα αὐτῶν, ταπεινῶς ἀμέλγων, καὶ τοῖς πένησιν, ὡς ἄγαν φιλάνθρωπος, διανέμων μακάριε· πιστῶς βοῶμεν, Σῷζον θεοφορούμενε, καὶ σὴν ἄθλησιν, τὴν τιμίαν γεραίροντες, ἐν κατανύξει ψάλλομεν˙ περίσκεπε ἅπαντας, καὶ περιφρούρει τοὺς πόθῳ, ἐπιτελοῦντας τὴν μνήμην σου, κλυτὲ καλλιμάρτυς, τῶν ἐπάλξεων τῶν ἄνω, λαμπρὲ διάκοσμε.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ζήλῳ τῷ τοῦ Θεοῦ πυρσωθείς, ἐν ἡλικίᾳ νεαρᾷ Σῷζον ἄλκιμε, κατέσβεσας διωκόντων, τὴν πλάνην ἁγιασμῷ, τοῦ σοῦ μαρτυρίου, καὶ τῆς καύσεως, σαρκὸς τῆς τιμίας σου, καὶ αὐτῆς τῶν Συνάθλων σου, παιδομαρτύρων, τῆς ἀσήμου πατρίδος σου, ἣν ἀνέδειξας, τῇ ἀθλήσει σου εὔσημον˙ ὅθεν σε μακαρίζοντες, ὡς πρώταθλον πίστεως, περιχαρῶς ἀνυμνοῦμεν, τοὺς πανιέρους καμάτους σου, καὶ πέμπομεν δόξαν, τῷ ἰσχύσαντί σε τρῶσαι, ἐχθροὺς τῆς πίστεως.

Δόξα... Ἦχος πλ. δ΄

Τὸν πολιᾷ φρονήσει ὑπερόπτην ὀφθέντα τῆς ἀλκίμου νεότητος, καὶ ὑπομείναντα πυρὸς τὴν φλόγα ὑπὲρ Χριστοῦ τῆς ἀγάπης, Σῴζοντα τὸν ἀκατάβλητον ὑμνήσωμεν μάρτυρα, ἐκθύμως κραυγάζοντες˙ ἀθλητὰ τροπαιοφόρε, τοὺς ἀρυομένους ἐκ

τοῦ ἁγιάσματος τοῦ σπηλαίου σου ἁγίαζε, καὶ ῥύου ἀλγηδόνων καὶ θλίψεων τοὺς σὲ μεγαλύνοντας.

Καὶ νῦν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἀπολυτίκιον

Ἦχος πλ. α΄ Τὸν συνάναρχον Λόγον.

Παιδομάρτυρος δεῦτε εὐψύχου Σῴζοντος, Πλακουντουδίου ποιμένος, κατακαέντος δεινῶς, ἐν σπηλαίῳ εὐφημήσωμεν τὴν ἄθλησιν, κράζοντες· σθένει ἀνδρικῷ, δι᾿ ἀγάπην ὁ φλεχθείς, Κυρίου δρυμοῖς ἐν Πάφου, χερσὶ βαρβάρων δυσώπει, ὑπὲρ ἡμῶν τὸν Πολυεύσπλαγχνον.

Ἕτερον τῶν Ἀνωνύμων Παιδομαρτύρων

Δόξα... Ὅμοιον

Τὸν χορὸν εὐσχημόνως ἀνευφημήσωμεν, εὐψύχων Παιδομαρτύρων, ἐν Πάφου Ἀσπρογιᾷ, σὺν τῷ Σῴζοντι τῷ μάρτυρι ἀθλήσαντα, καὶ θριαμβεύσαντα πληθύν, διωκόντων ἐκροαῖς, αἱμάτων αὐτῶν τιμίων, βοῶντες· ῥύσασθε βλάβης, ἐχθροῦ ὑμᾶς τοὺς μακαρίζοντας.

Καὶ νῦν... Θεοτοκίον

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε· χαῖρε ἡ μόνη πρὸς Θεόν, κόσμου γέφυρα, ἡ μετάγουσα θνητούς, πρὸς τὴν αἰώνιον ζωήν· χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καὶ Ἀπόλυσις

## ΕΝ ΤΩι ΟΡΘΡΩι

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα

Ἦχος α΄ Τὸν τάφον σου Σωτήρ.

Τὸν βόσκοντα ἀμνούς, ἐν τοῖς ὄρεσι Πάφου, καὶ ἐν ποιμενικῷ, ἀναμέλποντα Κτίστην, αὐλῷ εὐφημήσωμεν, καλλιμάρτυρα Σῴζοντα, τὸν ἀθλήσαντα, στερρῶς καὶ ἀναλωθέντα, ὥσπερ φρύγανον, ἐν τῷ πυρὶ δι᾿ ἀγάπην, Χριστοῦ τοῦ παντάνακτος.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Πιστῶν καταφυγή, Παναγία Παρθένε, ἐπάκουσον ἡμῶν, σοῦ θερμῶς δεομένων, καὶ ῥῦσαι κακώσεων, καὶ κινδύνων καὶ θλίψεων, τοὺς προστρέχοντας, σῇ ἀρραγεῖ προστασίᾳ, ἀντιλήψει σου, καὶ σκέπῃ τῇ παναγίᾳ, μητράνανδρε Δέσποινα.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα

Ἦχος δ΄ Ταχὺ προκατάλαβε.

Ἐτύθης ὡς σφάγιον, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, καὶ ὡς ἐνιαύσιος, ἀμνὸς τὴν φλόγα πυρός, ἐκθύμως ὑπέμεινας, Σῷζον ἀλκίφρον μάρτυς· ὅθεν πάντες σὴν μνήμην, ἄγοντες τὴν ἁγίαν, καὶ σεπτὴν ἐκβοῶμεν· τὸ πῦρ ἡμῶν παθῶν ζοφερῶν, παῦσον πρεσβείαις σου.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Τὴν κάραν σου κλίνασα, φωνῇ ἀρχαγγελικῇ, ἀφράστως ἐν μήτρᾳ σου, ἐδέξω τὸν τοῦ Θεοῦ, Υἱὸν τὸν πανάγιον, τὸν ἐκ τῶν σῶν αἱμάτων, τῶν πανάγνων λαβόντα, σάρκα βροτῶν Παρθένε, ἵνα γένος θεώσῃ, ἡμῶν τῶν καθ᾿ ἑκάστην λαμπρῶς, μεγαλυνόντων σε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα

Ἦχος γ΄ Τὴν ὡραιότητα τῆς παρθενίας σου.

Ἐπιδειξάμενος σὴν γενναιότητα, καὶ τῆς καρδίας σου Σῷζον τὸ εὔτονον, οὐκ ἐδειλίασας τὸ πῦρ Ἀράβων τῶν διωκόντων· ὅθεν σὺν Συνάθλοις σου τοῖς κλεινοῖς παιδομάρτυσι, στέφος νίκης εἴληφας ἀϊδίου τερπνότητος, πρεσβεύων τῷ σεπτῷ Στεφοδότῃ, δοῦναι ἡμῖν ἰσχὺν κατ᾿ ἄμφω.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον, φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου, ἁγνὴ Παρθένε

Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως, καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Τὸ Α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ Ἤχου

Προκείμενον, Ἦχος δ΄

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Πᾶσα πνοὴ

Τὸ Εὐαγγέλιον

**Ἐκ τοῦ κατὰ Ἰωάννην**

(Κεφ. ιε΄ 17 - ις΄ 2)

(Ζήτει ἐν τῇ Λειτουργίᾳ ΚΓ΄ Ἀπριλίου Γεωργίου μεγαλομάρτυρος)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν...

Ὁ Ν΄ Ψαλμὸς

Δόξα... Ταῖς τοῦ Ἀθλοφόρου...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με, ὁ Θεός...

Τὸ Ἰδιόμελον

Ἦχος πλ. β΄

Τὸν λιπόντα τὴν αὐτοῦ ἄλογον ἀγέλην προβάτων, ἵνα τὸν ἀρχιποίμενα Χριστὸν δοξάζῃ ἀπαύστως, Σῴζοντα τὸν πανεύφημον, ἀξιοχρέως εὐφημήσωμεν· οὗτος γὰρ παρρησίαν εὑρὼν πρὸς Κύριον, καύματος παθῶν ἡμᾶς ἀπαλλάσσει, τοὺς αὐτοῦ ὑμνοῦντας τὴν ἀήττητον ἄθλησιν.

Ὁ Κανὼν τοῦ Μάρτυρος, οὗ ἡ Ἀκροστιχίς·

Σῴζοντος καὶ αὐτοῦ Συνάθλων αἴνεσις. Χ.

Ὠδὴ α΄

Ἦχος δ΄ Ἀνοίξω τὸ στόμα μου.

Συνέσεως πρότυπον, καὶ εὐψυχίας ὑπόδειγμα, μαρτύρων τῆς πίστεως, ὤφθης εἰκὼν διαυγής, Σῷζον ἅγιε, Πλακουντουδίου Πάφου, πυρσὲ παμφαέστατε, φύλαξ καὶ πρόμαχε.

Ὡραΐσας ἄθλοις σου, Σῷζον τὴν χθόνα πατρίδος σου, καὶ δῆμον θεόλεκτον, τῶν εὐσεβῶν σαῖς εὐχαῖς, τὸν γεραίροντα, τὴν ἱεράν σου μνήμην, καὶ στέφοντα ἄθλησιν, σὴν ὕμνοις πρέπουσι.

Ζηλώσας τὰ κρείττονα, ἀπὸ παιδὸς τὸν Παντάνακτα, ἀνύμνεις ἀείποτε, ποιμενικῷ σου αὐλῷ, καὶ ἐσχόλαζες, ὡς παιδαριογέρων, γερόντων πατρίδος σου, ἐν ταῖς συνάξεσιν.

Θεοτοκίον

Ὁδοὺς καταξίωσον, βαδίσαι τοὺς ἀνυμνοῦντάς σε, ἁγνὴ Ἀειπάρθενε, σὲ δυσωποῦμεν θερμῶς, οἱ τὴν ἄμετρον, πληθὺν σῶν θαυμασίων, καρδίᾳ καὶ χείλεσι, μέλποντες πάντοτε.

Ὠδὴ γ΄

Τοὺς σοὺς ὑμνολόγους.

Νεότητος σθένος καὶ τὸ κάλλος, προσώπου σου Σῷζον παριδών, πανευσθενῶς ἐνήθλησας, καὶ ὥσπερ ὁλοκάρπωμα, σαυτὸν Χριστῷ παρέδωκας, τῷ σὲ ἀξίως δοξάσαντι.

Τὰ πρόβατα βόσκων τῆς σῆς ποίμνης, Ἁγίας Μονῆς ἐν τοῖς δρυμοῖς, τὰ τῆς ψυχῆς σου ὄμματα, ἀνέτεινες πρὸς Κύριον, τὸν θεῖον ἀρχιποίμενα, Ὃν ἔσχες βίου σου πρότυπον.

Οὐ πῦρ σε χωρίσαι τῆς ἀγάπης, κατίσχυσε Σῷζον τοῦ Χριστοῦ, ἀλλ᾽ ἔστης Θείᾳ Χάριτι, ἐν πίστει τοῦ Παντάνακτος, ὁμολογῶν τὸ ὄνομα, τὸ ὑπὲρ πᾶν Σῷζον ἄριστε.

Θεοτοκίον

Σῶν δούλων ἐπάκουσον Παρθένε, φωνῆς τῶν ὑμνούντων ἀκλινῶς, ὡς κλίμακα οὐράνιον, πρὸς οὐρανοὺς ἀπάγουσαν, σὲ πάντα τὰ συστήματα, τῶν χοϊκῶν ὑμνηπόλων σου.

Κάθισμα

Ἦχος γ΄ Θείας πίστεως.

Τὸν ὁμότροπον Δαυῒδ τοῦ θείου, προφητάνακτος ἐν τῇ βοσκήσει, τῶν ἀμνῶν καὶ αἴνῳ τοῦ Ἀρχιποίμενος, αὐτοῦ αὐλῷ εὐλαβῶς εὐφημήσωμεν, ποιμενικῷ ὡς καλλίνικον μάρτυρα, πίστει κράζοντες· ἀξίωσον καὶ ἱκέτας του, δοξάζειν ἀσιγήτως τὸν Θεάνθρωπον.

### Θεοτοκίον

Ἀπολύτρωσαι Παρθενομῆτορ, πάσης θλίψεως καὶ ἐπηρείας, τοῦ ἐχθίστου τοὺς ζητοῦντας τὴν χάριν σου, καὶ ἀκλινῶς τῇ στερρᾷ ἀντιλήψει σου, ἐν βίου σπεύδοντας Δέσποινα κλύδωσιν, ἵνα πάντοτε ὑμνῶμεν τὰ μεγαλεῖά σου, καὶ σκέπην καὶ βοήθειαν τῶν δούλων σου.

### Ὠδὴ δ΄

### Ὁ καθήμενος ἐν δόξῃ.

Κλεῖθρα τῆς ἐπουρανίου, βασιλείας παρέλαβες, δι᾽ ἀθλήσεώς σου, Σῷζον εὐσθενοῦς παναοίδιμε, ἔνθα συγχαίρεις ἀγγέλων ὁμηγύρεσι, καὶ συντάγμασι, τῶν ἀθλοφόρων τῆς πίστεως.

Ἀθλητὴς τροπαιοφόρος, ὤφθης Σῷζον ἀήττητε, ὁ εὑρὼν τὴν χάριν, θεραπεύειν τὰ ἐξανθήματα, τῶν προσφευγόντων τῇ χάριτι τῇ θείᾳ σου, ἥνπερ εἴληφας, ὡς ἀντιμίσθιον ἄθλων σου.

Ἱκετεύομέν σε Σῷζον, τοῦ Χριστοῦ τὸν κρατύναντα, πίστιν τὴν ἁγίαν, ἐν πυρὶ Ἀράβων· πανεύφημε, κατεποπτεύων μὴ παύσῃ τοὺς τιμῶντάς σε, καὶ γεραίροντας, τὴν ἀνδρικήν σου ἐνάθλησιν.

### Θεοτοκίον

Ἄνοιξόν μου Θεοτόκε, ὑπερύμνητε Δέσποινα, ὄμματα καρδίας, γνῶναι πλῆθος ἀνομημάτων μου, καὶ δίδαξόν με ὁδὸν ἐν ᾗ πορεύσομαι, ὁ πολύστηνος, ἱκέτης σῆς Θείας Χάριτος.

### Ὠδὴ ε΄

### Ἐξέστη τὰ σύμπαντα.

Ὑμνοῦμεν τοὺς ἄθλους σου, στερρόφρον Σῷζον πάντοτε, ὁ πυρὶ φλεχθεὶς Χριστοῦ ἀγάπης, τοῦ φιλευσπλάγχνου, καὶ παναγάθου Θεοῦ, καὶ πνεῦμά σου θεῖον παραδούς, τοῖς αὐτοῦ βραχίοσιν, ἐν πυρὶ μάκαρ βρέμοντι.

Τῶν ἄθλων πυρσεύμασι, τῶν σῶν καταλαμπόμενος, ἔστης λαμπροχίτων πρὸ τοῦ θρόνου, τοῦ παντεπόπτου, Χριστοῦ τὸν ζόφον ἡμῶν, παθῶν διαλύων σαῖς λιταῖς, Σῷζον ἱερώτατε, ἀθλητῶν Κύπρου κλέϊσμα.

Ὁ Σῴζων ὁ ἔνθεος, Ἀσπρογιᾶς τὸ καύχημα, διωκτῶν τὸ πῦρ οὐκ ἐπτοήθη, καὶ στεφανίτης, ἐδείχθη περικλεής, ἀθλήσας στερρῶς ὑπὲρ Χριστοῦ, πολιὰν τὴν φρόνησιν, ἔχων ἐν τῇ νεότητι.

### Θεοτοκίον

Ὑμνεῖν οὐ παυόμεθα, εἰς τοὺς αἰῶνας Δέσποινα, ὡς παραμυθίαν τεθλιμμένων, καὶ χριστωνύμων, ἁπάντων καταφυγήν, σὲ Μῆτερ φιλόστοργε Χριστοῦ, ἔφορε καὶ πρόμαχε, τῶν πιστῶς δεομένων σου.

### Ὠδὴ ς΄

### Τὴν θείαν ταύτην.

Στερρόφρον Σῷζον ἡγίασας, τοῖς ῥείθροις τῶν τιμίων αἱμάτων σου, χθόνα πατρίδος σου, καὶ σὸν πανίερον σπήλαιον, ἐν ᾧπερ κατεκαύθης, μάκαρ ὡς φρύγανον.

Ὑμνεῖ εὐτάκτοις σε ᾄσμασιν, ἡ σὲ τρισμάκαρ Σῷζον βλαστήσασα, καὶ νῦν κατέχουσα, φρουρὸν καὶ ῥύστην καὶ πρόμαχον, Ἀσπρογιὰ ἐν δίναις, καὶ περιστάσεσι.

Ναὸν ἀθλήσεως πάμφωτον, ἀνέδειξας ἀλκίφρον τὸ σπήλαιον, τοῦ μαρτυρίου σου, ᾧ προσιόντες ἐκ πίστεως, σὲ ἀνυμνολογοῦμεν, Σῷζον θειότατε.

### Θεοτοκίον

Αἱ τῶν πιστῶν ὁμηγύρεις νῦν, τιμῶντες θείου Σῴζοντος ἄθλησιν, σὲ μεγαλύνομεν, ἐκθύμως Θεογεννήτρια, καὶ τὸν μονογενῆ σου, Υἱὸν δοξάζομεν.

### Κοντάκιον

### Ἦχος πλ. δ΄ Τῇ ὑπερμάχῳ στρατηγῷ.

Τῆς εὐψυχίας καὶ σεμνότητος θησαύρισμα, καὶ ἀριστείας θαυμαστῆς λαμπρὸν ὑπόδειγμα, νεαρᾷ ἐν ἡλικίᾳ τὸν ἐπωφθέντα, ἀθλοφόρον ἀνδρικὸν ἔχοντα φρόνημα, εὐφημήσωμεν ψαλμοῖς καὶ ὕμνοις πρέπουσι, πόθῳ κράζοντες· Χαίροις Σῷζον ἀήττητε.

### Ὁ Οἶκος

Ἄριστε ἀθλοφόρε, Σῷζον, ἔνδον σπηλαίου, τοῦ σοῦ πυρὶ ἐνύλῳ ἐφλέχθης, ἀνωνύμων σὺν Παίδων χορῷ, σῆς πατρίδος μάκαρ· ὅθεν σοῦ μέλποντες, ἀγῶνας ἀνακράζομεν, ψυχῆς ἐν κατανύξει ταῦτα·

Χαῖρε ὁ στῦλος τῶν ἀθλοφόρων·
χαῖρε τὸ εὖχος τῶν νικηφόρων.

Χαῖρε στερροψύχων βοσκῶν ἐγκαλλώπισμα·
χαῖρε ἀηττήτων μαρτύρων ἀγλάϊσμα.

Χαῖρε κέρας ἀγαπήσεως τοῦ οἰκτίρμονος Χριστοῦ˙
χαῖρε σέλας τῆς ἀθλήσεως καὶ κατάπτωμα ἐχθροῦ.

Χαῖρε ὅτι εὐτόλμως τῷ πυρὶ παρεδόθης˙
χαῖρε ὅτι ἐνδόξως πρὸς τὸν πόλον μετέστης.

Χαῖρε αὐλὸς δοξάζων τὸν Ὕψιστον˙
χαῖρε σκηπτὸς ἐκκαίων τὸν ἔχθιστον.

Χαῖρε σεπτοῦ ἁγιάσματος φρέαρ˙
χαῖρε Χριστοῦ θείας πίστεως ἦμαρ.

Χαίροις Σῷζον ἀήττητε.

Συναξάριον

Τῇ Ζ΄ Σεπτεμβρίου, Μνήμη τοῦ ἁγίου μάρτυρος Σῴζοντος τοῦ Νέου, ἐν Πλακουντουδίῳ (Ἀσπρογιᾷ), καὶ τῶν σὺν αὐτῷ.

Στίχοι

Βόσκων σοὺς ἄρνας ἐν Ἀσπρογιᾷ, Σῷζον,
Ἔσωσας πίστιν ἀθλήσει σου τιμίᾳ.

Σὺν ἀνωνύμοις Παιδομάρτυσι, Σῷζον,
Ἀράβων ᾔσχυνας ὀφρὺν σῇ ἐνστάσει.

Ὁ ἔνδοξος τοῦ Χριστοῦ ἀθλητὴς Σῴζων, βοσκὸς νεαρὸς ὢν ἐν ταῖς πέριξ νάπαις τῆς Ἁγίας Μονῆς, ὑπέστη μαρτυρικὸν διὰ πυρὸς θάνατον, κατά τινα τῶν Ἀράβων ἐπιδρομήν, ἐν ᾗ οὗτοι κατέκαυσαν καὶ τὴν χαριτόβρυτον τῆς Θεοτόκου Εἰκόνα, σὺν χορῷ Παίδων καταφυγόντων εἰς ἐρημικὸν σπήλαιον, ὅπερ σῴζεται ἐν Ἀσπρογιᾷ Πάφου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν ἀποστόλων Εὐόδου καὶ Ὀνησιφόρου.

Στίχοι

Ὁδὸν τρέχων Εὔοδος εὐθεῖαν λόγου,
Καὶ πάντας αὐτὴν ἐκδιδάσκων ἣν τρέχειν.

Φέρειν ὄνησιν πᾶσιν Ὀνησιφόρος,
Φερωνύμως ἔσπευδε κηρύττων λόγον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ μάρτυρος Σῴζοντος, ἐν Λυκαονίᾳ.

Στίχοι

Ἀντεῖχε Σῴζων σώματος πρὸς αἰκίας,
Πρὸς τὸν μόνον σῴζοντα τὴν ψυχὴν βλέπων.

Ἑβδομάτη Σῴζων θάνε, τυπτόμενος χρόα λαμπρόν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ ἅγιος Εὐψύχιος, ξίφει τελειοῦται.

Στίχοι

Εὔψυχος Εὐψύχιος ἦν πρὸς τὸ ξίφος,
Χαίρων ὅτι Πλάσαντι τὴν ψυχὴν θύει.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη ὁσίου Λουκᾶ, ἐν Λυκαονίᾳ, τρίτου ἡγουμένου μονῆς τοῦ Σωτῆρος, ἐπιλεγομένης τοῦ Βαθέος Ῥύακος.

Στίχοι

Πάσης ὑπῆρξας ἀρετῆς, Λουκᾶ, τύπος,
Πάσης ἀποστὰς προσπαθείας γηΐνης.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄

Οὐκ ἐλάτρευσαν.

Θέλων στέφανον, λαβεῖν αἰωνιότητος, Ἀράβων ᾔσχυνας, τὴν ἐπηρμένην ὀφρύν, ἀήττητε πρώταθλε, Χριστοῦ τῆς πίστεως, Σῷζον ἔνδοξε, Πλακουντουδίου καύχημα, καὶ λαμπρὸν τῆς Πάφου θρέμμα.

Λάμπων ἤνυσας, ἀκτῖσιν εὐψυχίας σου, ὁδὸν ἀθλήσεως, ἐν σῇ πατρίδι καλῶς, καὶ ἔσβεσας ζόφωσιν, ἐχθρῶν τῆς πίστεως, μαρτυρίου σου, βολίσι Σῷζον ἅγιε, νεαρῶν μαρτύρων φέγγος.

Ὡς πολύολβον, τῆς πίστεως θησαύρισμα, ἀνευφημοῦντές σε, Σῷζον βοῶμεν πιστῶς˙ θειότατε πρόβολε, τῆς γενναιότητος, καὶ ἀσάλευτον, ἑδραίωμα χρηστότητος, οὐρανόθεν ἐδοξάσθης.

Θεοτοκίον

Νύκτα δίωξον, χαμαιζηλίας δούλων σου, Θεογεννήτρια, σῆς μητρικῆς προσευχαῖς, πρεσβείας πρὸς Τόκον σου, τὸν ὑπεράγιον, καὶ ἀνάτειλον, ἡμῖν αὐγὴν σωτήριον, ψυχοτρόφου μετανοίας.

Ὠδὴ η΄

Παῖδας εὐαγεῖς.

Ἄνθος μυροβόλον ἀριστείας, καθήδυνας εὐωδίᾳ μαρτυρίου σου, εὐσεβεῖς πατρίδος σου, Σῷζον παμμακάριστε, καὶ ηὔφρανας φιλέορτον, Κυπρίων σύλλογον, τελούντων σὴν ὑπέρφωτον μνήμην, ᾄσμασιν εὐτάκτοις, καὶ θείοις ἐφυμνίοις.

Ἴσχυσας δυνάμει Παρακλήτου, ἱστάναι ἐν πίστει μάρτυς παναοίδιμε, καὶ ἀνῦσαι δίαυλον, εὐσθενοῦς ἀθλήσεως, Ἀσπρογιᾶς καλλώπισμα, Σῷζον ὑπέρτι-

με˙ διόπερ νῦν τιμῶντές σε πόθῳ, τὰς θεοπειθεῖς σου, αἰτούμεθα πρεσβείας.

Νίκης στέφος βίου αἰωνίου, ἐδέξω ἐκ τῶν χειρῶν τοῦ Παντοκράτορος, Σῷζον τρισμακάριστε, ἀθλητῶν ἀκρώρεια, καὶ νεαρῶν ἐκτύπωμα, βοσκῶν ὧν σύλλογον, ἠγλάϊσας τῷ σῷ μαρτυρίῳ, τροπαιοῦχε μάρτυς, Χριστοῦ τοῦ Ζωοδότου.

Θεοτοκίον

Εὕρομέν σε ἄγρυπνον προστάτιν, ἀνύστακτον βοηθὸν καὶ ἀντιλήπτορα, ἐν τοῦ βίου κλύδωσι, Παναγία Δέσποινα, καὶ σπεύδοντες ἑκάστοτε, σῇ σκέπῃ κράζομεν˙ μὴ παύσῃ βοηθοῦσα σοῖς δούλοις, μεγαλύνουσί σε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Ἅπας γηγενής.

Σῶσον ἐκ φθορᾶς, κινδύνων καὶ θλίψεων, τοὺς εὐφημοῦντάς σε, Σῷζον ὡς μυράλειπτρον, χρηστοηθείας, καὶ γενναιότητος, καὶ μυροθήκην εὔοσμον, εὐψύχου δράσεως, ἵνα πάντες, ἐκτελῶμεν μνήμην σου, τὴν λαμπρὰν μελιχροῖς μελῳδήμασιν.

Ἵλεων ἡμῖν, τὸν Κτίστην ἀπέργασαι, τοῖς ἀνυμνοῦσί σου, Σῷζον τὰ παλαίσματα, καὶ τὴν στερράν σου, ὄντως ἐνάθλησιν, δι᾽ ἧς ἰδεῖν ἠξίωσαι, Θεοῦ τὸ πρόσωπον, καὶ ἀγγέλοις, συγχορεύειν πάντοτε, καὶ συγχαίρειν ἐν θείοις σκηνώμασι.

Στῦλος ἀκλινής, Χριστοῦ θείας πίστεως, Σῷζον στερρότατε, ἐποφθεὶς ἐστήριξας, σῇ ἐναθλήσει, πιστῶν τὸν σύλλογον˙ μὴ φοβηθεὶς διώκοντας, ἀγρίως Ἄραβας, παραδοῦντας, τῆς Πανάγνου Ἔκτυπον, τῇ φλογὶ τοῦ πυρὸς θεοστήρικτε.

Θεοτοκίον

Χάριτος κρουνέ, ἁγνὴ Ἀειπάρθενε, ὑψόθεν ἔπιδε, ἐφ᾽ ἡμᾶς ὑμνοῦντάς σε, καὶ κατ᾽ ἀξίαν, σὲ μεγαλύνοντας, ὡς θεῖον καταφύγιον, τῶν προστρεχόντων σοι, καὶ νοσούντων, ἰατρεῖον ἄμισθον, Θεοτόκε δεινῶν ὀλετήριον.

Ἐξαποστειλάριον

Γυναῖκες ἀκουτίσθητε.

Ἀράβων φεύγων τάχιστα, μανίαν Σῷζον ἔνδοξε, ἦλθες εἰς ἄνικμον ἄντρον, ἐν ᾧ πυρὶ παρεδόθης, σὺν Παίδων ὁμηγύρεσι, συνάθλων σου θεσπέσιε, μεθ᾽ ὧν πρεσβεύεις πάντοτε, ὑπὲρ τῶν σὲ ἀνυμνούντων, τῷ σῷ Θεῷ καὶ Δεσπότῃ.

Θεοτοκίον

Πηγὴν ὡς ἁγιάσματος, τοῦ χοϊκοῦ συστήματος, σὲ ἐπιστάμεθα πάντες, οἱ εὐλαβῶς σε ὑμνοῦντες, ἁγνὴ Θεογεννήτρια, καὶ πίστει ἀρυόμεθα, τὸ ἐξ αὐτῆς εἰς ἄληκτον, ὕδωρ ζωὴν ἀναβλῦζον, εἰς τοὺς αἰῶνας αἰώνων.

Εἰς τοὺς Αἴνους

Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια

Ἦχος πλ. δ΄ Ὢ τοῦ παραδόξου θαύματος!

Σῷζον εὐσταλὲς μεγάλαθλε, Πλακουντουδίου πυρσέ, καὶ περίβλεπτον καύχημα, ὁ Θεοῦ τῇ χάριτι, καταισχύνας τοὺς Ἄραβας, καὶ μεγαλύνας, αὐτοῦ τὸ ὄνομα, τῇ σῇ ἀθλήσει· ἡμῶν ἐπάκουσον, τῶν δεομένων σου, καὶ παράσχου ἅπασι, ταῖς σαῖς λιταῖς, ἄμφω τὴν ὑγίειαν, ἰσχὺν καὶ δύναμιν.

Σῷζον καλλιμάρτυς ἔνδοξε, καθάπερ χόρτος ξηρός, καὶ καλάμη καὶ φρύγανον, σὺν τοῖς Παιδομάρτυσιν, ἱερὸν ὁλοκαύτωμα, ἔνδον σπηλαίου, τοῦ σοῦ γενόμενος, ἔδειξες πᾶσι, τὸ πῦρ καρδίας σου, διὰ τὸν Κύριον, τὸν ἡμῖν παρέχοντα σαῖς προσευχαῖς, οἰκτιρμῶν τὸ πέλαγος, καὶ μέγα ἔλεος.

Σῷζον ἀθλητὰ περίλαμπρε, πυρὶ ὁλοκαυτωθείς, τῇ Τριάδι προσήνεξαι, παρ᾽ ἧς στέφος ἄφθαρτον, ἐκομίσω ὡς ἔπαθλον, τῶν σῶν καμάτων˙ διὸ τιμῶντές σε, μελισταγέσιν, ᾠδαῖς καὶ ᾄσμασι, μνήμην τελοῦμέν σου, τὴν λαμπρὰν καὶ πάμφωτον πανευλαβῶς, καὶ τὴν θείαν χάριν σου, θερμῶς αἰτούμεθα.

Σῷζον καρτερόφρον μνήμην σου, τὴν ἱερὰν καὶ σεπτήν, ἐκτελοῦντες γηθόμενοι, εὐχαρίστῳ στόματι, σοὶ βοῶμεν˙ πανεύφημε, τοὺς προσιόντας, ἄθλων σπηλαίῳ σου, ἐν σῇ πατρίδι, καὶ σὸν ἁγίασμα, πίνοντας λύτρωσαι, ἀλγηδόνων σώματος ὀδυνηρῶν, ἰατρὸς ὡς ἄριστος, καὶ ἑτοιμότατος.

Δόξα… Ἦχος πλ. α΄

Τὸν καταλιπόντα νεότητος ἰσχὺν καὶ κάλλος, καὶ ἐν τῇ πατρίδι αὐτοῦ μαρτυρίου ἀνύσαντα Στάδιον, ὁλοθύμῳ ψυχῆς ἐφέσει, Σῷζοντα τὸν καλλίνικον, ὡς ἀθλητὴν ὑμνήσωμεν ἄριστον, ἐκ μυχίων ψυχῆς βοῶντες˙ σὺν τοῖς Παισὶ συμμάρτυσί σου καὶ φίλοις σου, μεθ᾽ ὧν συναυλίζῃ ἐν θείοις δώμασι, μὴ παύσῃ Κυρίου δεόμενος, ὑπὲρ τῶν ἀνυμνούντων τὴν μακαρίαν σου ἄθλησιν.

Καὶ νῦν... Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις

## ΕΝ ΤΗι ΛΕΙΤΟΥΡΓΙΑι

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τοῦ Μάρτυρος ἡ γ΄ καὶ ἡ ς΄ ᾠδή.

Ὁ Ἀπόστολος

Προκείμενον, Ἦχος β΄ (Ψαλμ. ριζ΄)

Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος.

Στίχ. Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος.

**Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα**

(Κεφ. ς΄ 10-17)

(Ζήτει τῇ ΚΖ΄ Κυριακῇ)

Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου· ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.

Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ καὶ ἅπαντα κατεργασάμενοι στῆναι. Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι· καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ.

Ἀλληλούϊα (γ΄), Ἦχος α΄ (Ψαλμ. ρια΄)

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Τὸ Εὐαγγέλιον

**Ἐκ τοῦ κατὰ Λουκᾶν**

(Κεφ. κα΄ 12-19)

(Ζήτει ἐν τῷ Ὄρθρῳ τῆς ΚΓ΄ Ἀπριλίου Γεωργίου μεγαλομάρτυρος)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων...

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Ἀλληλούϊα.

Μεγαλυνάριον

Ἀθλητὴν τὸν θεῖον Ἀσπρογιᾶς, Σῴζοντα ἐν ὕμνοις, εὐφημήσωμεν εὐλαβῶς, σὺν Παιδομαρτύρων, χορῷ τῶν ἀνωνύμων, ὡς στῦλον εὐσεβείας, καὶ βάθρον πίστεως.

Δίστιχον

Σῴζοντος ᾔνεσε πόνους Χαραλάμπης,
Γεωργίου σεμνοῦ ἐπισκόπου χάριν.

## ΠΗΓΑΙ ΚΑΙ ΒΟΗΘΗΜΑΤΑ

### 1. Πηγαὶ

#### α) Χειρόγραφος παράδοσις


1. Βιβλιοθήκη Nazionale Marciana, Βενετία (Shelfmark Gr. VII, 16), ις' αἰῶνος.

2. Βιβλιοθήκη Bodleian, Ὀξφόρδη, (Selden, supra 14), ις' αἰῶνος (1555).


Βιβλιογραφία περὶ τῶν χειρογράφων:


1. K. N. Σάθα, Λεοντίου Μαχαιρᾶ, Χρονικὸν Κύπρου, Μεσαιωνικὴ Βιβλιοθήκη, τόμ. Β', Ἐν Βενετίᾳ 1873, σ. 71.

2. E. Miller et C. Sathas, Λεοντίου Μαχαιρᾶ, Χρονικὸν Κύπρου, Chronique de Chypre, Texte grec, Παρίσι 1882, σ. 22.

3. E. Miller et C. Sathas, Chronique de Chypre, par Léonce Machéras, Traduction Française, Παρίσι 1882, σ. 25.

4. R. M. Dawkins, Leontios Makhairas, Recital concerning the Sweet Land of Cyprus entitled 'Chronicle', Ὀξφόρδη 1932, vol. I, Preface, σσ. 36, 37, vol. II, σσ. 1-2, 66.

5. Ἀ. Παυλίδη, Λεοντίου Μαχαιρᾶ, Χρονικόν, ἔκδ. β', Λευκωσία 1995, σσ. στ'-θ', 30, 31.


#### β) Ἔντυποι ἐκδόσεις


1. J. Stiltingo, "De S. Sozonte martyre Pompeiopoli in Cilicia", *Acta Sanctorum Septembris*, tom. tertius, Παρίσι 1868, σσ. 14-19.

2. Νικοδήμου Ἁγιορείτου, Συναξαριστὴς τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ, τόμ. Α', Ἀθήνησι 1868, σσ. 23-24.

3. Κ. Χρ. Δουκάκη, Μέγας Συναξαριστής, Σεπτέμβριος, Ἐν Ἀθήναις 1894, σσ. 100-103.

4. H. Delehaye, *Synaxarium Ecclesiae Constantinopolitanae e codice Sirmondiano, Propylaeum ad Acta Sanctorum Novembris*, Βρυξέλλαι 1902, σσ. 21-26.

5. Μηναῖον τοῦ Σεπτεμβρίου, (ἔκδ. Π.Π. Παρασκευόπουλος), Ἐν Ἀθήναις 1904, σσ. 47-53.

6. Μιχαὴλ Γαλανοῦ, Οἱ βίοι τῶν Ἁγίων τῆς Ὀρθοδόξου Ἑλληνικῆς Ἐκκλησίας, Μὴν Σεπτέμβριος, Ἀθῆναι (ἔκδ. α' 1906, ἔκδ. β' 1951, ἔκδ. γ' 1988), σσ.72-74.

7. Τῇ Ζ' Σεπτεμβρίου, Μνήμη τοῦ ἁγίου Μάρτυρος Σώζοντος, ἐν Ἀκολουθίαι Ἁγίων, συλλεγεῖσαι καὶ ἐπιμελῶς διορθωθεῖσαι παρὰ Γεωργίου Ἀ. Ρήγα, Οἰκονόμου καὶ Ἀρχιερατικοῦ Ἐπιτρόπου Σκιάθου, τόμος πρῶτος, Ἐν Σκιάθῳ 1928, Ἐκδόσεις Ergo, Ἀθήνα 2003, σσ.65-82.

8. Μηναῖον τοῦ Σεπτεμβρίου, (ἐπιστασίᾳ Γεωργίου Γ. Γεγλέ, ἔκδ. Μιχαὴλ Σαλίβερος), Ἀθῆναι ἄ. ἔ., σσ. 66-75.

9. H. Delehaye, P. Peeters, M. Coëns, B. Gaiffier, P. Grosjean, Fr. Halkin, *Martyrologium Romanum, Propylaeum ad Acta Sanctorum Decembris*, Βρυξέλλαι 1940, σσ. 383, 384.

10. Μηναῖον τοῦ Σεπτεμβρίου, (ἔκδ. «Ἀποστολικὴ Διακονία τῆς Ἐκκλησίας τῆς Ἑλλάδος»), Ἐν Ἀθήναις 1959, σσ. 47-53.

11. Μηναῖον τοῦ Σεπτεμβρίου, (ἔκδ. «Τὸ Φῶς»), Ἐν Ἀθήναις 1961, σσ. 87-98.

12. J. Mateos, Le Typicon de la Grande Église, tom. I, Ρώμη 1962, σσ. 18, 19.

13. Ὡρολόγιον τὸ Μέγα, (ἔκδ. «Ἀποστολικὴ Διακονία τῆς Ἐκκλησίας τῆς Ἑλλάδος»), Ἐν Ἀθήναις 1986, σσ. 204-205.

14. Macaire, moine de Simonos–Petras, Le Synaxaire, tom. premier, Septembre, Octobre, Novembre, Θεσσαλονίκη 1987, σσ. 77-79.

15. Μέγας καὶ ἱερὸς Συνέκδημος Ὀρθοδόξου Χριστιανοῦ, (ἔκδ. «Ἀστήρ»), Ἀθῆναι 1989, σ. 488.

16. Hieromonk Makarios of Simonos Petra, *The Synaxarion, The Lives of the Saints of the Orthodox Church* (Translated from the French by Christopher Hookway), vol. one September, October, Ormylia (Chalkidike) 1998, σσ. 53-57.

17. Χαραλάμπους Μ. Μπούσια, Ἀκολουθία τοῦ ἁγίου ἐνδόξου μάρτυρος Σῴζοντος, Ἐν Μηναῖον Ἀσματολόγιον Ἱερᾶς Μονῆς Κύκκου, Σεπτέμβριος, Ἀθῆναι 2006, σσ. 85-118.


#### γ) Ἡ παροῦσα ἔκδοσις

Πρωτογενὴς γραπτὴ πηγὴ διὰ τὸν μάρτυρα Σῴζοντα τὸν Νέον, ἐν Πλακουντουδίῳ, νῦν Ἀσπρογιᾷ, εἶναι ἡ ἀναφορὰ εἰς αὐτὸν ὑπὸ τοῦ Λεοντίου Μαχαιρᾶ (1380-1450 μ. Χ.), εἰς τὸ Χρονικὸν αὐτοῦ: «Ὁ ἅγιος Σώζοντας εἰς τοῦ Πλακουντουδίου, παιδὶν βοσκαρίδιν, καὶ ἐτρέξαν το οἱ Σαρακηνοὶ ὅταν ἐκάψαν τὴν εἰκόνα τῆς Θεοτόκου εἰς τὴν μονήν· καὶ ἐτυπώθην εἰς τὰς πλάκας καὶ εἶνε μέχρι τὴν σήμμερον. Καὶ ἔφευγεν καὶ ἐσκοντύλισεν καὶ ἐτζακίστην τὸ γαλευτήριν καὶ ἐχενώθην τὸ γάλαν, καὶ εἶδαν τὸν τόπον πάντες. Καὶ ἐνέβην εἰς τὸ σπήλαιον μὲ τὰ ἄλλα παιδία, καὶ ἐβάλαν λαμπρὸν καὶ ἐκάψαν τα· καὶ ἐκτίσαν ναὸν καὶ ἐβάλαν τὰ ἁγιάσματα καὶ θεραπεύουν πᾶσαν νόσσον». (R. M. Dawkins, Leontios Makhairas, Recital concerning the Sweet Land of Cyprus entitled 'Chronicle', Oxford 1932, vol. I, σσ. 36, 37, vol. II, σ. 66).

Οἱ Σαρακηνοί, οἱ καταδιώξαντες καὶ παραδόντες εἰς τὸ πῦρ τὸν Σῴζοντα καὶ τοὺς σὺν αὐτῷ εἰς τὸ σπήλαιον τοῦ Πλακουντουδίου, θεωροῦμεν ὅτι ἦσαν μέλη τοῦ ἐκστρατευτικοῦ ἀποσπάσματος, τὸ ὁποῖον ἔστειλεν ὁ Μωαβίας εἰς τὴν Κύπρον ὑπὸ τὸν Abul–A'war Ibn Syfyān, τὸ ἔτος 650 μ.Χ. Αὐτοὶ ἐπολιόρκησαν τὴν Πάφον,τὴν ὁποίαν ἐλεηλάτησαν

καὶ κατέστρεψαν. Ἀκολούθως ἐπροχώρησαν εἰς τὴν ὀρεινὴν Πάφον καὶ φθάσαντες εἰς τὴν Ἁγίαν Μονὴν κατέκαυσαν τὴν Εἰκόνα τῆς Θεοτόκου, ἥτις διὰ θαύματος ἐτυπώθη ἐν ταῖς πλαξὶ τοῦ ναοῦ τῆς Μονῆς. (Βλ. Theophanis Chronographia, Bonnae 1839, σσ. 525-526, *Patrologia Graeca* 108 (1863), σσ. 701, 702, Lipsiae 1883, σσ. 343-344, Παύλου Οὐΐνφριτους διακόνου, Historia Miscella, Liber 19, *Patrologia Latina* 95 (1851), σσ. 1048-1049, Γεωργίου Κεδρηνοῦ, Σύνοψις ἱστοριῶν, *Patrologia Graeca* 121 (1869), σσ. 825, 826, Ἀρχιμανδρίτου Κυπριανοῦ, Ἱστορία χρονολογικὴ τῆς νήσου Κύπρου, Ἐνετίησιν 1788, Λευκωσία 1971, σσ. 106-107, Ἰω. Χάκκετт, Ἱστορία τῆς Ὀρθοδόξου Ἐκκλησίας τῆς Κύπρου, κατὰ μετάφρασιν καὶ συμπλήρωσιν Χαριλάου Ἰ. Παπαϊωάννου, τόμ. Α΄, Ἐν Ἀθήναις 1923, σσ. 52-54, τόμ. Β΄, Ἐν Πειραιεῖ 1927, σσ. 209-210, 292, R. Browing, "Ἡ Κύπρος καὶ οἱ Ἄραβες" (Ζ΄-Η΄ αἰ.), Ἐν Ἱστορία τῆς Κύπρου, ὑπὸ τὴν διεύθυνσιν Θεοδώρου Παπαδοπούλλου, τόμ. Γ΄ Βυζαντινὴ Κύπρος, Λευκωσία 2005, σσ. 241-265).

Ὁ ὑμνογράφος Χαράλαμπος Μ. Μπούσιας, ἐπὶ τῇ βάσει τῶν ἁγιολογικῶν πληροφοριῶν, αἱ ὁποῖαι ὑπάρχουν εἰς τὸ ἔργον τοῦ μακαριστοῦ Ἀρχιεπισκόπου Κύπρου κ.κ. Μακαρίου Γ΄, Κύπρος, ἡ ἁγία νῆσος (ἔκδ. α΄, Ἀθῆναι 1968, σ. 40, ἔκδ. β΄, Λευκωσία 1997, σ. 45), συνέθεσε τὸ 2005 ἀκολουθίαν διὰ τὸν μάρτυρα Σῴζοντα καὶ τοὺς σὺν αὐτῷ Παιδομάρτυρας, ἐν Ἀσπρογιᾷ τῆς Πάφου.

Τὴν ἀκολουθίαν αὐτὴν ὁ Πανιερώτατος Μητροπολίτης Πάφου κ. Γεώργιος ἀπέστειλεν εἰς τὸ Γραφεῖον ἐκδόσεως ἀκολουθιῶν τῆς Ἱερᾶς Ἀρχιεπισκοπῆς. Κατόπιν μελέτης τῆς μοναδικῆς πρωτογενοῦς πηγῆς τοῦ Λεοντίου Μαχαιρᾶ καὶ τοῦ ἱστορικοῦ πλαισίου τῆς ἐποχῆς τοῦ μαρτυρίου τοῦ Σῴζοντος, ἐξήχθη τὸ συμπέρασμα ὅτι ὁ μάρτυς Σῴζων ὁ Νέος ὑπῆρξε νεαρὸς ποιμήν, ὅστις ἐμαρτύρησε μετὰ τῶν συνάθλων αὐτοῦ Παιδομαρτύρων κατὰ τὴν διάρκειαν ἐπιδρομῆς τῶν Σαρακηνῶν εἰς Πάφον καὶ τὴν ἐνδοχώραν αὐτῆς κατὰ τὸν Ζ΄ μ. Χ. αἰῶνα.

Τὰ συμπεράσματα αὐτὰ διεβιβάσθησαν εἰς τὸν κ. Μπούσιαν, ὅστις συνέθεσε τὴν παροῦσαν ἀκολουθίαν, φιλαγίῳ μερίμνῃ τοῦ Πανιερωτάτου Μητροπολίτου Πάφου κ. Γεωργίου, εἰς τὴν περιφέρειαν τοῦ ὁποίου εὑρίσκεται ἡ Ἀσπρογιά, διὰ νὰ συμπεριληφθῇ εἰς τὸν ΙΑ΄ τόμον τῶν «Κυπρίων Μηναίων».

**δ) Βίοι - Συναξάρια**

1. H. Delehaye, "Saints de Chypre", *Analecta Bollandiana*, 26 (1907), σ. 256.

2. R. M. Dawkins, Leontios Makhairas, Recital concerning the Sweet Land of Cyprus entitled 'Chronicle', Ὀξφόρδη 1932, vol. I, σσ. 36, 37, vol. II, σ. 66.

3. Σωφρονίου Εὐστρατιάδου πρ. Λεοντοπόλεως, Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας, Ἀθῆναι 1935 (ἀνατ. 1995), σ. 443.

4. Ἰωάννου μοναχοῦ Ἁγιορείτου, Βίοι τῶν ἐν Κύπρῳ Ἁγίων, μετὰ Χαιρετισμῶν, Κύπρος 1952, σσ. 13, 37-38.

5. Μακαριωτάτου Ἀρχιεπισκόπου Κύπρου κ. κ. Μακαρίου Γ΄, Κύπρος, ἡ ἁγία νῆσος, ἔκδ. α΄, Ἀθῆναι 1968, σ. 40, ἔκδ. β΄, Λευκωσία 1997, σ. 45, πίν. 50.

6. Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σσ. 182, 183.

7. Παπασταύρου Παπαγαθαγγέλου, Μορφὲς ποὺ ἁγίασαν τὴν Κύπρο, ε΄ ἔκδοση, Λευκωσία 1998, σσ. 25-29, 517, 605, Ἀπολυτίκιον, Κοντάκιον, Μεγαλυνάριον, ποιηθέντα ὑπὸ Ἀθανασίου Σιμωνοπετρίτου.

## 2. Βοηθήματα

**α) Μελέται Ἁγιολογικαὶ**

1. Daniele Cardono, "Miracula Auctore Synchrono, ut plurimum teste oculato ex Ms. Graeco Bibliothecae Laurentiana Florentiae Plut. IX Cod.XIV", *Acta Sanctorum Maii*, τόμ. VI, (1688), σσ. 282-285.

2. Daniele Papebrochio, "De S. Theraponte Hiero-mart ex Cypro Constantinopolim translato. Commentarius praevius. De ejus cultu et ordine, deque martyrii et translationis tempore, ac miraculorum historia ex Ms. Graeco", *Acta Sanctorum Maii*, τόμ. VI, (1688), σσ. 681-682.

3. R. de Mas Latrie, Chroniques Amadi et de Strambaldi, seconde partie, Chronique de Strambaldi, Παρίσι 1893, σ. 15.

4. L. Deubner, De incubatione capita quattuor, Λειψία 1900, σσ. 120-124: Ἐγκώμιον εἰς τὰ θαύματα τοῦ ἁγίου ἱερομάρτυρος Θεράποντος.

5. A. H., "Bibliographische Notizen und Kleinere Mitteilungen, Ludovicus Deubner, De incubatione capita quattuor. Accedit laudatio in miracula sancti hieromartyris Therapontis e codice Messanensi denuo edita, Lipsiae, B.G. Teubner 1900. VIII, 138s. 8o", *Byzantinische Zeitschrift*, X Band, Jahrgang 1901, σσ. 346-347.

6. Ἰω. Χάκκετт, Ἱστορία τῆς Ὀρθοδόξου Ἐκκλησίας τῆς Κύπρου, κατὰ μετάφρασιν καὶ συμπλήρωσιν Χαρ. Ἰ. Παπαϊωάννου, τόμ. Α΄, Ἐν Ἀθήναις 1923, σσ. 51-54, τόμ. Β΄, Ἐν Πειραιεῖ 1927, σσ. 18, 67, 209-210, 282, 292.

7. Paul Van den Ven, La légende de S. Spyridon, évêque de Trimithonte, Louvain 1953, σσ. 1, 82, 83, 89, 90, 91.

8. F. Halkin, Bibliotheca Hagiographica Graeca, τόμ. II, Βρυξέλλαι 1957, σσ. 295-296, Auctarium B. H. G., Βρυξέλλαι 1969, σ. 183, Novum Auctarium B. H. G., Βρυξέλλαι 1984, σ. 207, codex Paris, 1534, ΙΒ΄ αἰῶνος, φφ. 319α-327α.

9. Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σσ. 182, 183, 203, 214, 237-240, 286, 292.

10. Mauritii Geerard, Clavis Patrum Graecorum, vol. III, Brepols–Tournhout 1979, σ. 548 Andreas Cretensis, Laudatio de miraculis S. Therapontis, ἀρχ. Πολλή μοι τῶν λόγων ἡ πανήγυρις.

11. Ἀ. Παυλίδη, "Σώζων ἅγιος", *Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια* 13 (1990), σσ. 20-21.

12. Βίος ἐν συντόμῳ καὶ μερικὴ θαυμάτων διήγησις τοῦ ἁγίου καὶ ἐνδόξου ἱερομάρτυρος Θεράποντος, ἐπισκόπου Κύπρου, "Κύπρια Μηναῖα", τόμ. Ζ΄, Μὴν Μάϊος, Ἐν Λευκωσίᾳ 2000, σσ. 216-217.

13. Ἀνδρέου Κρήτης τοῦ Ἱεροσολυμίτου, Ἐγκώμιον εἰς τὰ θαύματα τοῦ ἁγίου ἱερομάρτυρος Θεράποντος, "Κύπρια

Μηναῖα", τόμ. Ζ', Μὴν Μάϊος, Ἐν Λευκωσίᾳ 2000, σσ. 217-218.

14. G. Christodoulou, Le livre des Catéchèses de saint Néophyte le Reclus: texte et commentaire historique, Μελέται καὶ Ὑπομνήματα VII, Λευκωσία 2009, σσ. 38-39.

**β) Μελέται Ἱστορικαὶ**

1. Ἀρχιμανδρίτου Κυπριανοῦ, Ἱστορία χρονολογικὴ τῆς νήσου Κύπρου, Ἐνετίῃσιν 1788 (Λευκωσία 1971), σσ. 106-107.

2. B. G. Niebuhrii C. F., Corpus Scriptorum Historiae Byzantinae, Theophanes, vol. I, Bonnae 1839, σ. 525.

3. Pauli Winfridi Diaconi, Historia Miscella, Liber undevigesimus, *Patrologia Latina,* tom. 95 (1851) (Réimpression anastatique par Brepols, 1995), σσ. 1048-1049.

4. R. de Mas Latrie, Histoire de l' ile de Chypre sous le règne des princes, de la maison de Lusignan, τόμ. I, Παρίσι 1861, σ. 96, τόμ. III, Παρίσι 1855, σ. 507.

5. Θεοφάνους ἡγουμένου τοῦ Ἀγροῦ καὶ ὁμολογητοῦ, Χρονογραφία, *Migne, Patrologia Graeca* 108 (1863), σσ. 701-702.

6. Γεωργίου τοῦ Κεδρηνοῦ, Σύνοψις Ἱστοριῶν, *Migne, Patrologia Graeca* 121 (1864), σ. 825.

7. Κ. Ν. Σάθα, Μεσαιωνικὴ Βιβλιοθήκη, τόμ. Β', Ἐν Βενετίᾳ 1873, Φωτοτυπικὴ ἀνατύπωσις, Ἀθῆναι 1972, Πρόλογος σσ. κβ'-κγ'.

8. Carolus de Boor, Theophanis, Chronographia, vol. I, Lipsiae 1883, σσ. 343-344.

9. Fl. Bustron, Historia overo Commentarii de Cipro, (René de Mas Latrie, Mélanges Historiques, V, 1886), Ἀνατύπωσις Κυπριολογικὴ βιβλιοθήκη, ἐκδιδομένη ἐπιμελείᾳ Θεοδώρου Παπαδοπούλλου, 8, Λευκωσία 1998, σσ. 34-35.

10. Chronique de Michel le Syrien, Patriarche Jacobite d' Antioche (1166–1199), Éditée pour la première fois et traduite en français par. J. B. Chabot, I–IV, Paris 1899, 1901, 1905, 1910, (Bruxelles 1963).

11. Ἀθανασίου Ἀ. Σακελλαρίου, Τὰ Κυπριακά, τόμ. Α', Ἐν Ἀθήναις 1890, (Λευκωσία 1991), σ. 395.

12. J. Hackett, *A History of the Orthodox Church of Cyprus,* Λονδῖνον 1901, σσ. 33-35, 246, 430, 432.

13. Ἰ. Κ. Περιστιάνη, Γενικὴ Ἱστορία τῆς νήσου Κύπρου ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων μέχρι τῆς ἀγγλικῆς κατοχῆς, Ἐν Λευκωσίᾳ 1910, (Ἐπανέκδοσις μετὰ Προλεγομένων Θεοδώρου Παπαδοπούλλου, Λευκωσία (1995), σσ. 411-412.

14. Φιλίου Ζαννέτου, Ἱστορία τῆς νήσου Κύπρου, τόμ. Α', Ἐν Λάρνακι 1910, (Ἐπανέκδοσις μετὰ Προλεγομένων Θεοδώρου Παπαδοπούλλου, Λευκωσία (1997), σσ. 501-503.

15. Ἰω. Χάκκεττ, Ἱστορία τῆς Ὀρθοδόξου Ἐκκλησίας τῆς Κύπρου, κατὰ μετάφρασιν καὶ συμπλήρωσιν Χαρ. Ἰ. Παπαϊωάννου, τόμ. Α', Ἐν Ἀθήναις 1923, σσ. 51-54.

16. Λοΐζου Φιλίππου, "Ἡ πρώτη ἐν Κύπρῳ ἀραβικὴ ἐπιδρομή", *Κυπριακὰ Χρονικά,* ἔτος Γ', τεῦχος Α', Ἐν Λάρνακι 1925, σσ. 164-168.

17. Φιλίου Ζαννέτου, "Κύπρος, Ἀραβικαὶ ἐπιδρομαί", *Ἐλευθερουδάκη Ἐγκυκλοπαιδικὸν Λεξικὸν 8,* Ἐν Ἀθήναις 1930, σ. 315.

18. George Hill, *A History of Cyprus,* vol. I, Καῖμπριτζ 1940, σσ. 284-286, 326-329.

19. Jean Darruzès, "Un obituaire Chypriote: Le Parisinus Graecus 1588", *Κυπριακαὶ Σπουδαὶ* 15 (1951), Ἐν Λευκωσίᾳ 1952 σσ. 17, 34, 37, 48.

20. R. J. H. Jenkins, 'Cyprus between Byzantium and Islam, A. D. 688–965', *Studies presented to D. M. Robinson II,* Washington, D.C., 1953, σσ. 1006-1014.

21. A. I. Dikigoropoulos, 'The Political status of Cyprus A. D. 648–965', *Report of the Department ofAntiquities, Cyprus 1940–1948,* Λευκωσία 1958, σσ. 93-114.

22. A. I. Dikigoropoulos, Cyprus Betwixt Greeks and Saracens, A. D. 647–965, Ἐπὶ διδακτορίᾳ διατριβή, Oxford 1961.

23. Ἀ. Παπαγεωργίου, 'Les premières incursions Arabes à Chypre et leurs conséquences', Ἀφιέρωμα εἰς τὸν Κωνσταντῖνον Σπυριδάκιν, Λευκωσία 1964, σσ. 152-158.

24. A. I. Dikigoropoulos, 'The Church of Cyprus during the period of the Arab Wars, A. D. 649–965', *The Greek Orthodox Theological Review,* 11, 2 (1965–66), σσ. 237-279.

25. Νικολάου Οἰκονομάκη, "Ἡ ἐν Κύπρῳ ἀραβοκρατία κατὰ τὰς ἀραβικὰς πηγάς", Πρακτικὰ τοῦ Πρώτου Διεθνοῦς Κυπρολογικοῦ Συνεδρίου (Λευκωσία 14-19 Ἀπριλίου 1969), τόμ. Β', Μεσαιωνικὸν τμῆμα, Λευκωσία 1972, σσ. 193-200.

26. Robert Browning, 'Byzantium and Islam in Cyprus in the Early Middle Ages', *Ἐπετηρὶς Κέντρου Ἐπιστημονικῶν Ἐρευνῶν IX,* Λευκωσία 1977-1979, σσ. 101-116.

27. Κ. Π. Κύρρη, 'The Nature of the Arab–Byzantine Relations in Cyprus from the middle of 7th to the middle of the 10th Century', *Craeco–Arabica* 3 (1984), σσ. 151-156.

28. Ν. Ε. Οἰκονομάκη, "Ἡ Κύπρος καὶ οἱ Ἄραβες (622-965 μ. Χ.)', *Μελέται καὶ Ὑπομνήματα* 1 (1984), σσ. 217-374 ἰδίως σσ. 239-276.

29. Ἀθανασίου Παπαγεωργίου, "Μιὰ σύγχρονη πηγὴ γιὰ τὶς δύο πρῶτες Ἀραβικὲς ἐπιδρομὲς κατὰ τῆς Κύπρου", *Στασῖνος Θ',* (1986-1988), σσ. 167-175.

30. Evangelou Chrysou, 'Cyprus in the early Byzantine times', The Sweet Land of Cyprus, Λευκωσία 1993, σσ. 3-14.

31. A. Palmer et al., The seventh century in the west Syrian Chronicles, Liverpool 1993, σσ. 174-175.

32. Κυριάκου Χατζηϊωάννου, "Λεόντιος Μαχαιρᾶς", Ἡ Μεσαιωνικὴ Κύπρος, Λευκωσία 1993, σσ. 98, 104-105.

33. Robert Browning, "Ἡ Κύπρος καὶ οἱ Ἄραβες, (Ζ'-Η' αἰ.)", Ἱστορία τῆς Κύπρου, ἐκδιδομένη ὑπὸ τὴν διεύθυνσιν Θεοδώρου Παπαδοπούλλου, τόμ. Γ', Βυζαντινὴ Κύπρος, Ἵδρυμα Ἀρχιεπισκόπου Μακαρίου Γ', Γραφεῖον Κυπριακῆς Ἱστορίας, Λευκωσία 2005, σσ. 235-291.

**γ) Μελέται Τοπωνυμικαὶ**

1. Σίμου Μενάρδου, "Τοπωνυμικὸν τῆς Κύπρου", *Ἀθηνᾶ,* 18 (1905), Τοπωνυμικαὶ καὶ λαογραφικαὶ μελέται, *Δημοσιεύματα Κέντρου Ἐπιστημονικῶν Ἐρευνῶν* IV, Λευκωσία 1970, σ. 28.

2. R. Gunnis, *Historic Cyprus,* (Λονδῖνον 1936, 1947), σσ. 183-184.

3. Γ. Καρούζη, "Ἀσπρογιά", *Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια* 3 (1985), σ. 25.

4. Ἀθ. Παπαγεωργίου, "Ἱερέων Μονή", *Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια* 6 (1987), σσ. 79-80.

5. Ἀ. Παυλίδη, "Πλακουντούδι", *Μεγάλη Κυπριακὴ Ἐγκυκλοπαίδεια* 11 (1989), σσ. 340-341.

6. Βενεδίκτου Ἐγγλεζάκη (ἀρχιμανδρίτου Παύλου), Εἴκοσι μελέται διὰ τὴν Ἐκκλησίαν Κύπρου (4ος ἕως 20ὸς αἰών.), Ἀθῆναι 1996, σσ. 102-103, 630-631.

**δ) Ναογραφία**

1. Σίμου Μενάρδου, "Τοπωνυμικὸν τῆς Κύπρου", *Ἀθηνᾶ* 18 (1905), Τοπωνυμικαὶ καὶ λαογραφικαὶ μελέται, *Δημοσιεύματα Κέντρου Ἐπιστημονικῶν Ἐρευνῶν* IV, Λευκωσία 1970, σ. 28.

2. Claude Delaval Cobham, *The Churches and Saints of Cyprus*, Λονδῖνον 1910, σ. 41.

3. G. Jeffery, *A Description of the Historic Monuments of Cyprus*, Λευκωσία 1918, (Λονδῖνον 1983) σ. 392.

4. Γ. Σωτηρίου, Τὰ Βυζαντινὰ μνημεῖα τῆς Κύπρου, Ἐν Ἀθήναις 1935, σ. μδ΄: *Σώζοντος* (ἁγίου ναὸς Κακοπετριᾶς), πίναξ 151α. Πολυκάνδηλον ὀρειχάλκινον τοῦ ναοῦ τοῦ ἁγίου Σώζοντος Κακοπετριᾶς.

5. R. Gunnis, *Historic Cyprus*, (α΄ ἔκδ. Λονδῖνον 1936, β΄ ἔκδ. Λονδῖνον 1947), σσ. 183-184.

6. Ν. Κυριαζῆ, Τὰ χωρία τῆς Κύπρου, Λάρναξ 1952, σσ. 58, 154.

7. Ν. Κληρίδη, Χωριὰ καὶ πολιτεῖες τῆς Κύπρου, Λευκοσία 1961, σ. 51.

8. Κ. Ἀ. Πιλαβάκη, "Συναγωγὴ Κυπριακοῦ τοπωνυμικοῦ ὑλικοῦ", *Κυπριακαὶ Σπουδαὶ* 37 (1973), παράρτημα σ. 51.

9. M. Christodoulou, A Concise Gazetteer of Cyprus, Λευκωσία 1982, σ. 17.

10. M. Christodoulou, A Complete Gazeteer of Cyprus, vol. I, Λευκωσία 1987, σσ. 59, 189, 1020, 1021, 1377-1378.

11. Gilles Grivaud, Villages désertés à Chypre (fin XIIe–fin XIX siècle), *Μελέται καὶ Ὑπομνήματα* III (1998), σσ. 241, 243, 445.

12. Ἱερᾶς Συνόδου Ἐκκλησίας Κύπρου, Ἑορτολόγιον, Τυπικαὶ Διατάξεις Ἱερῶν Ἀκολουθιῶν 2009, σσ. 351, 485.

**ε) Εἰκονογραφία**

1. Ἰωάννου Π. Τσικνοπούλλου, Παναγία ἡ Χρυσορρωγιάτισσα, Ἐν Λευκωσίᾳ 1964 καὶ 1965, σ. 138.

2. Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σσ. 182, 183.

3. Ἀ. Παπαγεωργίου, Ἱερὰ Μητρόπολις Πάφου, Ἱστορία καὶ τέχνη 1950 χρόνια ἀπὸ τὴν ἵδρυσή της, Λευκωσία 1996, σσ. 147, 202: Ὁ Ἅγιος Σώζων, 34x23,9, Καθολικὸ τῆς Μονῆς τῆς Παναγίας Χρυσορροϊάτισσας. 1770.

4. Μακαριωτάτου Ἀρχιεπισκόπου Κύπρου κ.κ. Μακαρίου Γ΄, Κύπρος, ἡ ἁγία νῆσος, ἔκδ. β΄, Λευκωσία 1997, πίν. 50.

5. Παπασταύρου Παπαγαθαγγέλου, Μορφὲς ποὺ ἅγιασαν τὴν Κύπρο, ε΄ ἔκδ., Λευκωσία 1998, σ. 517.

**ϛ΄) Ἱερὰ Λείψανα**

1. Ἰωάννου Π. Τσικνοπούλλου, Ἡ Ἱερὰ Βασιλικὴ καὶ Σταυροπηγιακὴ Μονὴ τῆς Ὑπεραγίας Θεοτόκου τοῦ Μαχαιρᾶ, Λευκωσία 1968, σ. 208/22.

2. Otto Meinardus, "Relics in the Churches and Monasteries of Cyprus", *Ostkirchliche Studien* 19 (1970), σ. 40.

3. Δρος Χαραλάμπους Μ. Μπούσια, Ἀκολουθία κοινὴ πάντων τῶν ἁγίων, ὧν τίμια λείψανα ἀποθησαυρίζονται ἐν τῇ Ἱερᾷ Μονῇ Κύκκου, μετὰ Παρακλητικοῦ Κανόνος καὶ Χαιρετιστηρίων Οἴκων, Ἀθῆναι 2005, σσ. 20, 54, 71, 94, 106, 110.